ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὴν κοινὴν γωνίαν τὴν
ἐκ τοῦ κθ΄ τοῦ α΄ ὑπὸ ΒΑΔ· καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΗΖ τῇ ΔΓ· ἴση ἐστὶν
ἡ μὲν ὑπὸ ΑΗΖ γωνία τῇ ὑπὸ ΑΔΓ· ἡ δὲ ὑπὸ ΗΖΑ τῇ
ὑπὸ ΔΓΑ· καὶ κοινὴ τῶν δύο τριγώνων τῶν ΑΔΓ ΑΖΗ
ἡ ὑπὸ ΔΑΓ· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΔΓ τρίγωνον τῷ
ΑΗΖ τριγώνῳ· διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΑΓΒ τρίγωνον
ἰσογώνιόν ἐστι τῷ ΑΖΕ τριγώνῳ· καὶ ὅλον τὸ ΑΒΓΔ
παραλληλόγραμμον τῷ ΕΗ παραλληλογράμμῳ ἰσογώνιόν
ἐκ τοῦ δ΄ τοῦ ϛ΄ ἐστιν· ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΑΔ πρὸς τὴν ΔΓ·
οὕτως ἡ ΑΗ πρὸς τὴν ΗΖ· ὡς δὲ ἡ ΔΓ πρὸς τὴν ΓΑ· οὕτως
ἡ ΗΖ πρὸς τὴν ΖΑ· ὡς δὲ ἡ ΑΓ πρὸς τὴν ΓΒ· οὕτως
ἡ ΑΖ πρὸς τὴν ΖΕ· καὶ ἔτι ὡς ἡ ΓΒ πρὸς τὴν ΒΑ· οὕτως
ἡ ΖΕ πρὸς τὴν ΕΑ· καὶ ἐπεὶ ἐδείχθη ὡς μὲν ἡ ΔΓ
πρὸς τὴν ΓΑ· οὕτως ἡ ΗΖ πρὸς τὴν ΖΑ· ὡς δὲ ἡ ΑΓ
πρὸς τὴν ΓΒ· οὕτως ἡ ΑΖ πρὸς τὴν ΖΕ· δι' ἴσου ἄρα
ἐκ τοῦ κβ΄ τοῦ ε΄: ἐστὶν ὡς ἡ ΔΓ πρὸς τὴν ΓΒ· οὕτως ἡ ΗΖ πρὸς τὴν ΖΕ·
τῶν ἄρα ΑΒΓΔ ΕΗ παραλληλογράμμων ἀνάλογόν
εἰσιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας· ὅμοιον ἄρα
ἐκ τοῦ ὅρου α΄ τοῦ ϛ΄ ἐστὶ τὸ ΑΒΓΔ παραλληλόγραμμον τῷ ΕΗ παραλληλογράμμῳ·
διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΑΒΓΔ παραλληλόγραμμον
καὶ τῷ ΚΘ παραλληλογράμμῳ ὅμοιόν
ἐστιν· ἑκάτερον ἄρα τῶν ΕΗ
ΘΚ παραλληλογράμμων τῷ
ΑΒΓΔ παραλληλογράμμῳ ὅμοιόν
ἐστι· τὰ δὲ τῷ αὐτῷ εὐθυγράμμῳ
ἐκ τοῦ κα΄ τοῦ ϛ΄: ὅμοια καὶ ἀλλήλοις



ϛ

ἐστὶν ὅμοια· καὶ τὸ ΕΗ ἄρα παραλληλόγραμμον τῷ ΘΚ
παραλληλογράμμῳ ὅμοιόν ἐστι· παντὸς ἄρα παραλληλογράμμου
τὰ περὶ τὴν διάμετρον παραλληλόγραμμα
ὅμοιά ἐστι τῷ τε ὅλῳ καὶ ἀλλήλοις· ὅπερ ἔδει δεῖξαι:~

κε΄ Τῷ δοθέντι εὐθυγράμμῳ ὅμοιον καὶ ἄλλῳ τῷ δοθέντι
ἴσον τὸ αὐτὸ συστήσασθαι· ἔστω τὸ μὲν δοθὲν εὐθύγραμμον
ᾧ δεῖ ὅμοιον συστήσασθαι τὸ ΑΒΓ· ᾧ δὲ δεῖ ἴσον
τὸ Δ· δεῖ δὴ τῷ μὲν ΑΒΓ ὅμοιον· τῷ δὲ Δ ἴσον τὸ αὐτὸ
συστήσασθαι· παραβεβλήσθω γὰρ παρὰ μὲν τὴν ἐκ τοῦ μδ΄ τοῦ α΄:
ΒΓ τῷ ΑΒΓ τριγώνῳ ἴσον παραλληλόγραμμον τὸ ΒΕ·
παρὰ δὲ τὴν ΓΕ τῷ Δ ἴσον παραλληλόγραμμον τὸ ΓΜ ἐκ τοῦ με΄ τοῦ α΄:
ἐν γωνίᾳ τῇ ὑπὸ ΖΓΕ, ἥ ἐστιν ἴση τῇ ὑπὸ ΓΒΛ· ἐπ' εὐ-
θείας ἄρα ἐστὶν ἡ μὲν ΒΓ τῇ ΓΖ· ἡ δὲ ΛΕ τῇ ΕΜ· καὶ εἰ- ἐκ τοῦ ιδ΄ τοῦ α΄:
λήφθω τῶν ΒΓ ΓΖ μέση ἀνάλογον ἡ ΗΘ· καὶ ἀναγε- ἐκ τοῦ ιγ΄ τοῦ ϛ΄:
γράφθω ἀπὸ τῆς ΗΘ τῷ ΑΒΓ ὅμοιόν τε καὶ ὁμοίως
κείμενον τὸ ΚΗΘ· καὶ ἐπεί ἐστιν ὡς ἡ ΒΓ πρὸς τὴν ΗΘ· ἐκ τοῦ ιη΄ τοῦ ϛ΄:
οὕτως ἡ ΗΘ πρὸς τὴν ΓΖ· ἐὰν δὲ τρεῖς εὐθεῖαι ἀνά-
λογον ὦσιν· ἔστιν ὡς ἡ πρώτη πρὸς τὴν τρίτην· οὕ- ἐκ τοῦ π΄ τοῦ κ΄
τως τὸ ἀπὸ τῆς πρώτης εἶδος πρὸς τὸ ἀπὸ τῆς δευ- τοῦ ϛ΄:
τέρας τὸ ὅμοιον καὶ ὁμοίως
ἀναγραφόμενον· ἔστιν ἄ-
ρα ὡς ἡ ΒΓ πρὸς τὴν ΓΖ·
οὕτως τὸ ΑΒΓ τρίγωνον
πρὸς τὸ ΚΗΘ τρίγωνον·
ἀλλὰ καὶ ὡς ἡ ΒΓ πρὸς τὴν
ΓΖ· οὕτως τὸ ΒΕ παραλ- ἐκ τοῦ α΄ τοῦ ϛ΄:



BIBLIOTHECA BODLEIANA

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo